ε' Ἡ δοτικὴ ἑνικὴ γίνεται ἀπὸ τῆς ὀνομαστικῆς ἐκβολῇ τοῦ σ. ὅθεν
καὶ τὸ ᾱ μακρὸν ἔχει· οἷον ὁ ταμίας, ὁ αἰνείας, τῷ ταμίᾳ, τῷ
αἰνείᾳ. ἔχει δὲ τὸ ι ὑπογεγραμμένον καὶ ἐν ταῖς τέσσαρσι τῶν
ἁπλῶν κλίσεων.

ς' Ἡ αἰτιατικὴ ἑνικὴ γίνεται ὁμοίως ἀπὸ τῆς ἑνικῆς ὀνομαστικῆς,
ὅθεν καὶ τὸ αν μακρὸν ἔχει. καὶ ἡ κλητικὴ ὡσαύτως.

ζ' Πᾶσα κλητικὴ τὸν ἴσον χρόνον ἔχει τῇ ἰδίᾳ ὀνομαστικῇ, ἢ
ἐλάττονα· οὐδέποτε δὲ μείζονα· οἱ δὲ ἀττικοὶ τὰς αὐτὰς ὀνομα=
στικὰς, καὶ κλητικὰς κατὰ πάσας τὰς κλίσεις, καὶ ἀριθμούς.

η' Τὰ εἰς της ἰσοσύλλαβα κατὰ κανόνα εἰς η ποιοῦσι τὴν κλητι=
κήν· οἷον ὁ χρύσης, ὦ χρύση, καὶ ὦ χρύσης ἀττικῶς.
Τὰ δὲ εἰς της ἰσοσύλλαβα, ἢ εἰς της ἐθνικὰ, ποιητικὰ εἰς
της, καὶ σύνθετα ἀπὸ τῶν ῥημάτων ἄρχω, πωλῶ, μετρῶ,
τρίβω κατ' ἐξαίρεσιν εἰς ᾰ βραχὺ ποιοῦσι τὴν κλητικήν·
οἷον, ὁ προφήτης, ὦ προφῆτα, ὁ ποιητὴς, ὦ ποιητά.
ὁ πολίτης, ὦ πολῖτα. ὁ πέρσης, ὦ πέρσα. ὁ σκύ=
θης, ὦ σκύθα. ὁ κυνώπης, ὦ κυνῶπα. ὁ πατριάρχης,
ὦ πατριάρχα. ὁ βιβλιοπώλης, ὦ βιβλιοπῶλα. ὁ γεω=
μέτρης, ὦ γεωμέτρα. ὁ παιδοτρίβης, ὦ παιδοτρίβα.
ταύτας τὰς κλητικὰς εἰς ᾱ, οἱ ἀττικοὶ, καὶ ποιηταὶ λα=
μβάνουσιν ἀντὶ ὀνομαστικῶν· ὅμ: ἰλ. ι. τὸν δ' ἀπαμει=
βόμενος προσέφη νεφεληγερέτα ζεύς. ἀντὶ νεφεληγερέτης.
Τὰ δὲ εἰς στης, εἰς η, καὶ εἰς α ποιοῦσι τὴν κλητικήν· οἷον,
ὦ λῃστὴ, καὶ λῃστά. θυέστης, ἀκοντιστὴς καὶ τὰ ἑξῆς.

θ' Ἔνια τούτων τῶν εἰς της ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ
κλητικῇ· οἷον ὁ δρυόπης, ὦ δρύοπα. ὁ μησσέτης, ὦ
μήσσετα. ὁ ἀκακήτης, ὦ ἀκάκητα. ὁ δεσπότης, ὦ δέ=
σποτα. καὶ τὸ σύνθετον ὁ οἰκοδεσπότης, ὦ οἰκοδέσποτα.

ι' Ἡ ὀνομαστικὴ, καὶ κλητικὴ δυϊκὴ ἀπὸ τῆς ἑνικῆς δοτικῆς

τροπῇ